FLORILEGIUM PATRISTICUM

DIGESSIT VERTIT ADNOTAVIT

GERARDUS RAUSCHEN
DR. THEOL. ET PHIL., SS. THEOLOGIAE IN UNIVERSITATE BONNENSI
PROF. P. E.

FASCICULUS NONUS

TEXTUS ANTENICAENI AD PRIMATUM ROMANUM SPECTANTES

BONNAE
SUMPTIBUS PETRI HANSTEIN
MCMXIV

BR
63
F4
v.9

In meinem Verlage ist erschienen:

Florilegium patristicum digessit, vertit, adnotavit Gerh. Rauschen

Fasc. I. Monumenta aevi apostolici. 1904. VI, 90 S. Preis broschiert ℳ 1.20, kartoniert ℳ 1.40.

— — Fasc. II. S. Justini apologiae duae. Editio altera aucta et emendata. 1911. IV, 135 S. Preis broschiert ℳ 2.20, kartoniert ℳ 2.40.

— — Fasc. III. Monumenta minora saeculi secundi. 1905. IV, 106 S. Preis broschiert ℳ 1.50, kartoniert ℳ 1.70.

— — Fasc. IV. Tertulliani liber de praescriptione haereticorum, acced. S. Irenaei adversus haereses. III 3/4. 1906. IV, 69 S. Preis ℳ 1.—, kartoniert ℳ 1.20.

— — Fasc. V. Vincentii Lerinensis commonitoria. 1906. IV, 71 S. Preis ℳ 1.20, kartoniert ℳ 1.40.

— — Fasc. VI. Tertulliani apologetici recensio nova. Editio altera emendata. 1912. IV, 144 S. Preis ℳ 2.40, kartoniert ℳ 2.60.

— — Fasc. VII. Monumenta eucharistica et liturgica vetustissima. 1909. IV, 170 S. Preis ℳ 2.40, kartoniert ℳ 2.60.

— — Fasc. VIII. M. Minucii Felicis Octavius. 1913. XIV, 64 S. Preis ℳ 1.40, kartoniert 1.60.

Das *1. Heft* enthält eine Auswahl aus den Apostolischen Vätern, nämlich vollständig die Lehre der zwölf Apostel, den Römerbrief des Ignatius und das Martyrium Polycarpi, dann die schönsten Kapitel aus dem Briefe an Diognet und die für die Dogmengeschichte wertvollsten Stücke aus den andern Schriften. — Das *2. Heft* enthält den vollständigen griechischen Text der beiden Apologien Iustins mit lateinischer Übersetzung. — Im *3. Heft* stehen vollständig: das Muratorische Fragment, die sog. Logia Jesu, das 1892 aufgefundene grössere Bruchstück aus dem Petrusevangelium und ausgewählte Stücke aus dem Protevangelium des Jakobus, ferner die Aberkiosinschrift und einzelne griechische Märtyrerakten, besonders die neuentdeckten des Apollonius. — Das *4. Heft* bringt Tertullians dogmatisch wichtigste Schrift De praescriptione in neuer Textrezension und im Anhang Irenaeus adversus haereses III 3—4. — Das *5. Heft* bietet die Commonitoria des Vinzenz; die vier vorhandenen Handschriften wurden für diese Ausgabe neu verglichen. — Für die Ausgabe von Tertullians Apologetikum im *6. Heft* wurden die Pariser Handschriften und die Handschrift von Montpellier neu verglichen und namentlich die Varianten des verlorenen Codex Fuldensis genau untersucht; so ist ein ganz neuer Text entstanden. — Das *7. Heft*, das umfangreichste von allen, enthält 11 Schriftstücke aus den vier ersten Jahrhunderten, die sich auf die Sakramente und besonders auf die hl. Eucharistie beziehen, darunter vollständig die mystagogischen Katechesen Cyrills, die Schrift des Ambrosius De mysteriis und Ps.-Ambrosius de sacramentis; angehängt sind 36 kleinere Zitate aus Schriften der drei ersten Jahrhunderte. — Das *8. Heft* bringt den schönsten Dialog aus dem Altertum in neuer Textgestalt mit reichlichen Anmerkungen.

Bonn. **Peter Hanstein.**

FLORILEGIUM PATRISTICUM

#13,745

DIGESSIT VERTIT ADNOTAVIT

GERARDUS RAUSCHEN
DR. THEOL. ET PHIL., SS. THEOLOGIAE IN UNIVERSITATE BONNENSI
PROF. P. E.

THEOLOGICAL

FASCICULUS NONUS

TEXTUS ANTENICAENI AD PRIMATUM ROMANUM SPECTANTES

BONNAE
SUMPTIBUS PETRI HANSTEIN
MCMXIV

Property of
CBF
Please return to
Graduate Theological
Union Library

BR
63
F4
v.9

J. nr. 6161.

Imprimi permittitur.

Coloniae, die 22. Septembris 1913.

Dr. Kreutzwald
Vicarius Archiepi Generalis.

Alle Rechte, insbesondere das der Übersetzung
in andere Sprachen, vorbehalten.

Copyright 1914 by Peter Hanstein, Bonn.

In hunc Florilegii fasciculum congesta sunt ex tribus prioribus aevi nostri saeculis omnia capita tam Sacrae scripturae quam scriptorum ecclesiasticorum et profanorum, quae ad primatum s. Petri et ecclesiae Romanae referri solent. Textus ex optimis et recentissimis editionibus deprompti, textus graeci insuper versione latina adornati sunt; adnotationes vero ad calcem paucae tantum adiunctae sunt idque duabus de causis: et quia hic fasciculus ex sententia auctoris ad exercitationes potissimum seminariorum destinatus est, et quia in hac materia tractanda sententiae auctorum catholicorum et acatholicorum maxime variantur, libellus autem in usum utrorumque editus est.

Scripsi Bonnis nonis octobribus MCMXIII.

Digitized by the Internet Archive
in 2025 with funding from
Graduate Theological Union

https://archive.org/details/textusantenicaen09unse

Argumentum.

pág.

1. Novum testamentum 1
   a) Iohannis ev. 1, 40—42 1
   b) Matthaeus 16, 13—20 1
   c) Marcus 8, 27—30 3
   d) Lucas 9, 18—21 3
   e) Iohannis ev. 21, 15—19 4
   f) Acta apostolorum 15, 1—2. 6—13 5
   g) Galat. 2, 11—16 6
2. Clemens Romanus, Ep. I. ad Cor. 1. 5. 44 7
3. Ignatius Antiochenus, Ep. ad Romanos.
   a) Prologus 9
   b) Cap. 4, 3 10
4. Hermas, Visio II 4, 2 et 3 11
5. Papias (c. 150 p. Chr.) de s. Petro Romae versante et de Marco evangelista.
   a) Eus. h. e. II 14, 6 et 15, 1—2 11
   b) Eus. h. e. III 39, 15—16 13
6. Series episcoporum Romanorum.
   a) Hegesippus (c. 160 p. Chr.) apud Eus. h. e. IV 22, 1—3 14
   b) Irenaeus, Adv. haer. III 3, 2—3 15
7. Dionysius ep. Corinthius (c. 170 p. Chr.).
   a) De ecclesia Romana a Petro et Paulo condita (Eus. h. e. II 25, 8) 16
   b) De beneficentia ecclesiae Romanae (Eus. h. e. IV 23, 9—10) 17
8. Victoris episcopi Romani (c. 190 p. Chr.) et episcoporum Asiaticorum controversia paschalis (Eus. h. e. V 23 et 24) . 18
9. Irenaeus de apostolica origine et auctoritate ecclesiae Romanae (Adv. haer. III 1, 2 et 3, 1) 26
10. Caius presbyter Romanus (ca. a. 200) de tropaeis apostolorum Petri et Pauli (Eus. h. e. II 25, 5—6) 27

pag.

11. Tertullianus.
    a) De ecclesiis apostolicis, praesertim de ecclesia Romana 28
    b) De martyrio Romano ss. apostolorum Petri et Pauli . . 30
    c) De edicto peremptorio Callisti ep. Romani 31
    d) De Praxea ecclesiam Romanam inquietante (Adv. Praxean 1, 4—7) 32
12. Hippolytus († 235) contra Callistum ep. Romanum (Philosoph. IX 12) 32
13. Origenes.
    a) De ss. apostolis Petro et Paulo (Eus. h. e. III 1) . . . 39
    b) De iis, quae dominus apud Matth. 16, 18 Petro dixit . 40
14. Cyprianus ep. Carthaginiensis.
    a) De catholicae ecclesiae unitate c. 4 et 5 42
    b) Epistulae 44
15. Pseudo-Cyprianus, Adversus aleatores c. 1 50
16. Dionysius ep. Alexandrinus († 264) de Stephano ep. Romano 50
17. Imperator Aurelianus de Romano episcopo 52
18. Porphyrius philosophus († 304) de Petro et Paulo 53
19. Petrus ep. Alexandrinus († 311) de iisdem apostolis 55
20. Eusebius ep. Caesareensis.
    a) De s. Petro et Simone Mago (h. e. II 14, 5—6) 55
    b) De primis Petri in sede Romana successoribus 56

Index nominum 59

1. NOVUM TESTAMENTUM.

a) Iohannis ev. 1, 40—42[1].

Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου[2] καὶ ἀκολουθησάντων αὐτῷ. (41) Εὑρίσκει οὗτος πρῶτον τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα καὶ λέγει αὐτῷ· εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστιν μεθερμηνευόμενον Χριστός. (42) Ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν· ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς εἶπεν· σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωάννου[3], σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.

Erat autem Andreas frater Simonis Petri unus ex duobus, qui audierant a Ioanne et secuti fuerant eum. (41) Invenit hic primum fratrem suum Simonem et dicit ei: Invenimus Messiam, quod est interpretatum Christus. (42) Et adduxit eum ad Iesum. Intuitus autem eum Iesus dixit: Tu es Simon filius Iona, tu vocaberis Cephas, quod interpretatur Petrus.

b) Matthaeus 16, 13—20[4].

Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρίας τῆς Φιλίππου

Venit autem Iesus in partes Caesareae Philippi et interroga-

[1] *Textus graeci* Novi Testamenti, quos hoc loco propono, desumpti sunt ex nova editione *Hermanni von Soden* (Hermann Freiherr von Soden, Die Schriften des Neuen Testamentes in ihrer ältesten erreichbaren Gestalt, II. Teil: Text mit Apparat, Gottingae 1913). Lectiones variantes editionis Nestlianae adnotavi. — *Versio latina* est Vulgatae editionis typicae. [2] et [3] *Ἰωάνου* Nestle, cfr. Matth. 16, 17; Joh. 21, 15. [4] Hos versus evangelii adulterinos, i. e. annis de-

ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· τίνα λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; (14) Οἱ δὲ εἶπον·[1] οἱ μὲν Ἰωάνην[2] τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν[3], ἕτεροι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν (15) Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; (16) Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. (17) Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν σοι ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. (18) Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. (19) Καὶ[4] δώσω σοι τὰς κλεῖς[5] τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. (20) Τότε διεστείλατο[6] τοῖς μαθηταῖς, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστός.

bat discipulos suos dicens: Quem dicunt homines esse filium hominis? (14) At illi dixerunt: Alii Ioannem Baptistam, alii autem Eliam, alii vero Ieremiam aut unum ex prophetis. (15) Dicit illis Iesus: Vos autem quem me esse dicitis? (16) Respondens Simon Petrus dixit: Tu es Christus filius dei vivi. (17) Respondens autem Iesus dixit ei: Beatus es Simon Bar Iona, quia caro et sanguis non revelavit tibi, sed pater meus, qui in caelis est. (18) Et ego dico tibi, quia tu es Petrus, et super hanc petram aedificabo ecclesiam meam et portae inferi non praevalebunt adversus eam. (19) Et tibi dabo claves regni caelorum; et quodcumque ligaveris super terram, erit ligatum et in caelis, et quodcumque solveris super terram, erit solutum et in caelis. (20) Tunc praecepit discipulis suis, ut nemini dicerent, quia ipse esset Iesus Christus.

mum 180—200 post Chr. ortos esse, probare conatus est *Schnitzer* (Hat Jesus das Papsttum gestiftet? 1910, 32—42); contra eum scripsit *Fr. Tillmann*, Jesus und das Papsttum, 1910, 24—34. [1] *εἶπαν* Nestle. [2] *Ἰωάνην* N. [3] *Ἡλείαν* N. [4] Hanc vocem omittit N. [5] *κλεῖδας* N. [6] *ἐπετίμησεν* N.

c) Marcus 8, 27—30.

Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρίας τῆς Φιλίππου. Καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων αὐτοῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; (28) *Οἱ δὲ ἀπεκρίθησαν*[1] *αὐτῷ λέγοντες,* [*ὅτι*][2] *Ἰωάννην*[3] *τὸν βαπτιστήν, καὶ ἄλλοι Ἠλίαν*[4]*, ἄλλοι δὲ ὅτι εἷς τῶν προφητῶν.* (29) *Καὶ αὐτὸς ἐπηρώτα αὐτούς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ*[5] *ὁ Πέτρος λέγει αὐτῷ· σὺ εἶ ὁ Χριστός.* (30) *Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσιν περὶ αὐτοῦ.*

Et egressus est Iesus et discipuli eius in castella Caesareae Philippi, et in via interrogabat discipulos suos dicens eis: Quem me dicunt esse homines? (28) Qui responderunt illi dicentes: Ioannem Baptistam, alii Eliam, alii vero quasi unum de prophetis. (29) Tunc dicit illis: Vos vero quem me esse dicitis? Respondens Petrus ait ei: Tu es Christus. (30) Et comminatus est eis, ne cui dicerent de illo.

d) Lucas 9, 18—21.

Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας συνῆσαν αὐτῷ οἱ μαθηταί, καὶ ἐπηρώτησεν αὐτοὺς λέγων· τίνα με οἱ ὄχλοι λέγουσιν εἶναι; (19) *Οἱ δὲ ἀποκριθέντες εἶπον*[6]*· Ἰωάννην*[7] *τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν*[8]*, ἄλλοι δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη.* (20) *Εἶπεν δὲ αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Πέτρος δὲ ἀποκριθεὶς*

Et factum est, cum solus esset orans, erant cum illo et discipuli, et interrogavit illos dicens: Quem me dicunt esse turbae? (19) At illi responderunt et dixerunt: Ioannem Baptistam, alii autem Eliam, alii vero quia unus propheta de prioribus surrexit. (20) Dixit autem illis: Vos autem, quem me esse dicitis? Respondens

[1] *εἶπαν* N. [2] ita [ ] von Soden, *ὅτι* N. [3] *Ἰωάνην* N.
[4] *Ἠλείαν* N. [5] om N. [6] *εἶπαν* N. [7] *Ἰωάνην* N. [8] *Ἠλείαν* N.

εἶπεν· τὸν Χριστὸν τοῦ θεοῦ. (21) Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς παρήγγειλεν μηδενὶ λέγειν τοῦτο.

Simon Petrus dixit: Christum dei. (21) At ille increpans illos praecepit, ne cui dicerent hoc.

e) Iohannis ev. 21, 15—19.

Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωάννου[1], ἀγαπᾷς με πλέον τούτων; Λέγει αὐτῷ· ναί, κύριε, σὺ οἶδας, ὅτι φιλῶ σε. Λέγει αὐτῷ· βόσκε τὰ ἀρνία μου. (16) Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωάννου, ἀγαπᾷς με; Λέγει αὐτῷ· ναί, κύριε, σὺ οἶδας, ὅτι φιλῶ σε. Λέγει αὐτῷ· ποίμαινε τὰ πρόβατά[2] μου. (17) Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωάννου, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον· φιλεῖς με; καὶ εἶπεν αὐτῷ· κύριε, πάντα σὺ οἶδας, σὺ γινώσκεις, ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ[3] Ἰησοῦς· βόσκε τὰ πρόβατά[4] μου. (18) Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις, ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου καὶ ἄλλοι ζωσουσί σε[5] καὶ ἀποίσουσιν[6], ὅπου οὐ θέλεις. (19) Τοῦτο δὲ εἶπεν σημαίνων, ποίῳ θανάτῳ δοξάσει τὸν θεόν.

Cum ergo prandissent, dicit Simoni Petro Iesus: Simon Ioannis, diligis me plus his? Dicit ei: Etiam domine, tu scis, quia amo te. Dicit ei: Pasce agnos meos. (16) Dicit ei iterum: Simon Ioannis, diligis me? Ait illi: Etiam domine, tu scis, quia amo te. Dicit ei: Pasce agnos meos. (17) Dicit ei tertio: Simon Ioannis, amas me? Contristatus est Petrus, quia dixit ei tertio: Amas me? et dixit ei: Domine, tu omnia nosti, tu scis, quia amo te. Dixit ei: Pasce oves meas. (18) Amen, amen dico tibi: Cum esses iunior cingebas te et ambulabas, ubi volebas; cum autem senueris, extendes manus tuas et alius te cinget et ducet, quo tu non vis. (19) Hoc autem dixit significans, qua morte clarificaturus esset deum.

[1] Ἰωάνου N. [2] et [4] προβάτιά N. [3] om. N. [5] ἄλλος ζώσει σε N. [6] οἴσει N.

f) Acta apostolorum 15, 1—2. 6—13.

Καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελφούς, ὅτι, ἐὰν μὴ περιτμηθῆτε τῷ ἔθει τῷ Μωϋσέως, οὐ δύνασθε σωθῆναι. (2) *Γενομένης δὲ στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἰερουσαλὴμ περὶ τοῦ ζητήματος τούτου . . .* (6) *Συνήχθησάν τε οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου.* (7) *Πολλῆς δὲ ζητήσεως γενομένης ἀναστὰς Πέτρος εἶπεν πρὸς αὐτούς· ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε, ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ἐξελέξατο ὁ θεὸς διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι.* (8) *Καὶ ὁ καρδιογνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς δοὺς τὸ πνεῦμα τὸ ἅγιον καθὼς καὶ ἡμῖν,* (9) *καὶ οὐδὲν διέκρινεν μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.* (10) *Νῦν οὖν τί πειράζετε τὸν θεόν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν*

Et quidam descendentes de Iudaea docebant fratres: Quia, nisi circumcidamini secundum morem Moysi, non potestis salvari. (2) Facta ergo seditione non minima Paulo et Barnabae adversus illos, statuerunt, ut adscenderent Paulus et Barnabas et quidam alii ex aliis ad apostolos et presbyteros in Ierusalem super hac quaestione . . . (6) Convenerunt que apostoli et seniores videre de verbo hoc. (7) Cum autem magna conquisitio fieret, surgens Petrus dixit ad eos: Viri fratres, vos scitis, quoniam ab antiquis diebus deus in nobis[1] elegit, per os meum audire gentes verbum evangelii et credere. (8) Et qui novit corda deus testimonium perhibuit, dans illis spiritum sanctum sicut et nobis, (9) et nihil discrevit inter nos et illos, fide purificans corda eorum. (10) Nunc ergo quid tentatis deum, inponere iugum super cervices discipulorum, quod neque patres nostri neque nos portare potuimus? (11) Sed per gratiam domini Iesu Christi, credimus servari, quemadmodum et illi. (12) Ta-

[1] Ita Vulgata editio, *ἐν ὑμῖν* graece.

οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; (11) Ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι καθ' ὃν τρόπον κἀκεῖνοι. (12) Ἐσίγησεν δὲ πᾶν τὸ πλῆθος καὶ ἤκουον Βαρνάβου καὶ Παύλου ἐξηγουμένων, ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς ἔθνεσιν δι' αὐτῶν. (13) Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς ἀπεκρίθη Ἰάκωβος λέγων . . .

cuit autem omnis multitudo, et audiebant Barnabam et Paulum narrantes, quanta deus fecisset signa et prodigia in gentibus per eos. (13) Et postquam tacuerunt, respondit Iacobus dicens . . .

g) Galat. 2, 11—16.

Ὅτε δὲ ἦλθεν Κηφᾶς εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. (12) Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλεν καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς. (13) Καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. (14) Ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσιν πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Κηφᾷ ἔμπροσθεν πάντων· Εἰ σὺ Ἰουδαῖος ὑπάρχων ἐθνικῶς καὶ οὐκ Ἰουδαϊκῶς ζῇς, πῶς τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; (15) Ἡμεῖς φύσει Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί, (16) εἰδότες δὲ ὅτι οὐκ δικαιοῦται ἄνθρω-

Cum autem venisset *Cephas* Antiochiam, in faciem ei restiti, quia reprehensibilis erat. (12) Prius enim quam venirent quidam a Iacobo, cum gentibus edebat; cum autem venissent, subtrahebat et segregabat se, timens eos, qui ex circumcisione erant. (13) Et simulationi eius consenserunt ceteri Iudaei, ita ut et Barnabas duceretur ab eis in illam simulationem. (14) Sed cum vidissem, quod non recte ambularent ad veritatem evangelii, dixi Cephae coram omnibus: Si tu, cum Iudaeus sis, gentiliter vivis et non Iudaice, quomodo gentes cogis iudaizare? (15) Nos natura Iudaei et non ex gentibus peccatores, (16) scientes autem, quod non iustifi-

πος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστεως Χριστοῦ Ἰησοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου, ὅτι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σάρξ (ps. 142, 2).

catur homo ex operibus legis nisi per fidem Iesu Christi: et nos in Christo Iesu credimus, ut iustificemur ex fide Christi et non ex operibus legis, propter quod ex operibus legis *non iustificabitur omnis caro.*

2. CLEMENS ROMANUS, EP. I. AD COR. 1. 5. 44. (anno post Chr. circ. 96).

Ἡ ἐκκλησία τοῦ θεοῦ ἡ παροικοῦσα Ῥώμην τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ παροικούσῃ Κόρινθον, κλητοῖς ἡγιασμένοις ἐν θελήματι θεοῦ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ παντοκράτορος θεοῦ διὰ Ἰησοῦ Χριστοῦ πληθυνθείη.

1. *Διὰ τὰς αἰφνιδίους καὶ ἐπαλλήλους γενομένας ἡμῖν συμφορὰς καὶ περιπτώσεις, ἀδελφοί, βράδιον νομίζομεν ἐπιστροφὴν πεποιῆσθαι περὶ τῶν ἐπιζητουμένων παρ' ὑμῖν πραγμάτων, ἀγαπητοί, τῆς τε ἀλλοτρίας καὶ ξένης τοῖς ἐκλεκτοῖς τοῦ θεοῦ, μιαρᾶς καὶ ἀνοσίου στάσεως, ἣν ὀλίγα πρόσωπα προπετῆ καὶ αὐθάδη ὑπάρχοντα εἰς τοσοῦτον ἀπονοίας ἐξέκαυσαν, ὥστε τὸ σεμνὸν καὶ περιβόητον καὶ πᾶσιν*

Ecclesia dei, quae Romae peregrinatur, ecclesiae dei, quae Corinthi peregrinatur, vocatis sanctificatis voluntate divina per dominum nostrum Iesum Christum. Gratia vobis et pax ab omnipotenti deo per Iesum Christum multiplicetur.

1. Propter subitas et sibi invicem succedentes calamitates et casus adversos, qui nobis acciderunt, tardius, fratres, nosmetipsos convertisse existimamus ad res, quae desiderantur apud vos, dilecti, et ad seditionem inpiam et detestandam, dei electis peregrinam et alienam, quam pauci homines temerarii et audaces in tantum insolentiae accenderunt, ut honorificum et inlustre omnibusque

[1] Patres apostolici, ed. Fr. H. Funk, vol. I, ed. II, Tub. 1901, 99squ.

ἀνθρώποις ἀξιαγάπητον ὄνομα ὑμῶν μεγάλως βλασφημηθῆναι.

5. Ἀλλ' ἵνα τῶν ἀρχαίων ὑποδειγμάτων παυσώμεθα, ἔλθωμεν ἐπὶ τοὺς ἐγγιστα γενομένους ἀθλητάς· λάβωμεν τῆς γενεᾶς ἡμῶν τὰ γενναῖα ὑποδείγματα. (2) Διὰ ζῆλον καὶ φθόνον οἱ μέγιστοι καὶ δικαιότατοι στύλοι ἐδιώχθησαν καὶ ἕως θανάτου ἤθλησαν. (3) Λάβωμεν πρὸ ὀφθαλμῶν ἡμῶν τοὺς ἀγαθοὺς ἀποστόλους· (4) Πέτρον, ὃς διὰ ζῆλον ἄδικον οὐχ ἕνα οὐδὲ δύο, ἀλλὰ πλείονας ὑπήνεγκεν πόνους καὶ οὕτω μαρτυρήσας ἐπορεύθη εἰς τὸν ὀφειλόμενον τόπον τῆς δόξης. (5) Διὰ ζῆλον καὶ ἔριν Παῦλος ὑπομονῆς βραβεῖον ἔδειξεν, (6) ἑπτάκις δεσμὰ φορέσας, φυγαδευθείς, λιθασθείς, κήρυξ γενόμενος ἔν τε τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει, τὸ γενναῖον τῆς πίστεως αὐτοῦ κλέος ἔλαβεν, (7) δικαιοσύνην διδάξας ὅλον τὸν κόσμον, καὶ ἐπὶ τὸ τέρμα τῆς δύσεως ἐλθὼν καὶ μαρτυρήσας ἐπὶ τῶν ἡγουμένων οὕτως ἀπηλλάγη τοῦ κόσμου καὶ εἰς τὸν ἅγιον τόπον ἐπορεύθη, ὑπομονῆς γενόμενος μέγιστος ὑπογραμμός.

44. Καὶ οἱ ἀπόστολοι ἡμῶν ἔγνωσαν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔρις ἔσται ἐπὶ τοῦ ὀνόματος τῆς ἐπισκοπῆς. (2) Διὰ

amandum nomen vestrum vehementer lasphemaretur.

5. Sed ut vetera exempla relinquamus, veniamus ad proximos athletas; saeculi nostri generosa exempla accipiamus. (2) Propter zelum et invidiam, qui maximae et iustissimae columnae erant, persecutionem passi sunt et usque ad mortem certaverunt. (3) Ponamus nobis ante oculos bonos apostolos: (4) Petrum, qui propter zelum iniquum non unum vel alterum, sed plures labores subiit, atque ita testimonio dato in debitum gloriae locum abiit. (5) Propter zelum et contentionem Paulus patientiae praemium meruit, (6) septiens in vincula coniectus, fugatus, lapidatus, et in oriente et in occidente verbi praeco factus inlustrem fidei suae gloriam nanctus est, (7) qui postquam mundum universum iustitiam docuit et ad terminum occidentis venit et coram praefectis testimonium perhibuit, sic e mundo migravit et in locum sanctum abiit, patientiae summum exemplar exsistens.

44. Apostoli quoque nostri per Iesum Christum dominum nostrum cognoverunt, contentionem de nomine episcopatus

ταύτην οὖν τὴν αἰτίαν πρόγνωσιν εἰληφότες τελείαν κατέστησαν τοὺς προειρημένους καὶ μεταξὺ ἐπινομὴν δεδώκασιν, ὅπως, ἐὰν κοιμηθῶσιν, διαδέξωνται ἕτεροι δεδοκιμασμένοι ἄνδρες τὴν λειτουργίαν αὐτῶν. (3) *Τοὺς οὖν κατασταθέντας ὑπ' ἐκείνων ἢ μεταξὺ ὑφ' ἑτέρων ἐλλογίμων ἀνδρῶν, συνευδοκησάσης τῆς ἐκκλησίας πάσης, καὶ λειτουργήσαντας ἀμέμπτως τῷ ποιμνίῳ τοῦ Χριστοῦ μετὰ ταπεινοφροσύνης ἡσύχως καὶ ἀβαναύσως, μεμαρτυρημένους τε πολλοῖς χρόνοις ὑπὸ πάντων, τούτους οὐ δικαίως νομίζομεν ἀποβάλλεσθαι τῆς λειτουργίας.* (4) *Ἁμαρτία γὰρ οὐ μικρὰ ἡμῖν ἔσται, ἐὰν τοὺς ἀμέμπτως καὶ ὁσίως προσενεγκόντας τὰ δῶρα τῆς ἐπισκοπῆς ἀποβάλωμεν.* (5) *Μακάριοι οἱ προοδοιπορήσαντες πρεσβύτεροι, οἵτινες ἔγκαρπον καὶ τελείαν ἔσχον τὴν ἀνάλυσιν· οὐ γὰρ εὐλαβοῦνται, μή τις αὐτοὺς μεταστήσῃ ἀπὸ τοῦ ἱδρυμένου αὐτοῖς τόπου.* (6) *Ὁρῶμεν γάρ, ὅτι ἐνίους ὑμεῖς μετηγάγετε καλῶς πολιτευομένους ἐκ τῆς ἀμέμπτως αὐτοῖς τετιμημένης λειτουργίας.*

orituram. (2) Ob eam igitur causam, perfecta praescientia praediti, constituerunt praedictos ordinationemque deinceps dederunt, ut, cum illi decessissent, ministerium eorum alii probati viri exciperent. (3) Itaque qui constituti sunt ab illis vel deinceps ab aliis viris eximiis, consentiente universa ecclesia, quique sine vitio gregi Christi deservierunt cum humilitate, quiete nec inliberaliter et omni tempore ab omnibus testimonium praeclarum reportaverunt, hos iudicamus munere suo non iuste deici. (4) Non enim leve erit peccatum nostrum, si eos, qui integre et sancte munera obtulerunt, episcopatu deicimus. (5) Beati presbyteri viam prius emensi, qui fructuosam perfectamque dissolutionem consecuti sunt; non enim verentur, ne quis se transferat de loco ipsis constituto. (6) Videmus enim nonnullos honeste conversatos ab officio, quo inculpate honorati erant, a vobis remotos esse.

3. IGNATIUS ANTIOCHENUS, EP. AD ROMANOS[1].

a) Prologus.

Ἰγνάτιος, ὁ καὶ Θεοφόρος, τῇ | Ignatius, qui et Theophorus,

[1] Patres apost., ed. Funk I (1901) 252 squ.; Funk, Kirchengesch.

ἠλεημένῃ ἐν μεγαλειότητι πατρὸς ὑψίστου καὶ Ἰησοῦ Χριστοῦ τοῦ μόνου υἱοῦ αὐτοῦ ἐκκλησίᾳ ἠγαπημένῃ καὶ πεφωτισμένῃ ἐν θελήματι τοῦ θελήσαντος τὰ πάντα, ἃ ἔστιν, κατὰ ἀγάπην Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ἥτις καὶ προκάθηται ἐν τόπῳ χωρίου Ῥωμαίων, ἀξιόθεος, ἀξιοπρεπής, ἀξιομακάριστος, ἀξιέπαινος, ἀξιοεπίτευκτος, ἀξιάγνος καὶ προκαθημένη τῆς ἀγάπης, χριστόνομος, πατρώνυμος, ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ υἱοῦ πατρός· κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις χάριτος θεοῦ ἀδιακρίτως καὶ ἀποδιϋλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος πλεῖστα ἐν Ἰησοῦ Χριστῷ τῷ θεῷ ἡμῶν, ἀμώμως χαίρειν.

ecclesiae misericordiam consecutae in magnificentia patris altissimi et Iesu Christi filii eius unici; ecclesiae dilectae et inluminatae voluntate eius, qui vult omnia quae sunt secundum caritatem Iesu Christi dei nostri, quae etiam praesidet in loco regionis Romanorum, digna deo, digna decore, digna quae beata praedicetur, digna laude, digna quae voti compos fiat, digne casta et universo caritatis coetui praesidens, Christi legem habens, patris nomine insignita, quam et saluto in nomine Iesu Christi filii patris: iis, qui secundum carnem et spiritum cuivis ipsius praecepto sunt adunati, gratia dei inseperabiliter repleti et ab omni alieno colore sunt expurgati, plurimam in Iesu Christo deo nostro et intaminatam opto salutem.

b) Cap. 4, 3.

Οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι ὑμῖν. Ἐκεῖνοι ἀπόστολοι, ἐγὼ κατάκριτος· ἐκεῖνοι ἐλεύθεροι, ἐγὼ δὲ μέχρι νῦν δοῦλος. Ἀλλ' ἐὰν πάθω, ἀπελεύθερος γενήσομαι Ἰησοῦ Χριστοῦ

Non ut Petrus et Paulus vobis praecipio; illi apostoli, ego condemnatus; illi liberi, ego usque nunc servus. Sed si patiar, libertus fiam Iesu Christi et in ipso resurgam

Abhandlungen I, Paderb. 1897, 1—12; Jülicher in: Gött. Gelehrte Anzeigen 1898 p. 4.

καὶ ἀναστήσομαι ἐν αὐτῷ ἐλεύθερος. Νῦν μανθάνω δεδεμένος μηδὲν ἐπιθυμεῖν.

liber. Nunc vinctus nihil concupiscere disco.

4. HERMAS, VISIO II 4, 2 et 3[1].

Μετέπειτα δὲ ὅρασιν εἶδον ἐν τῷ οἴκῳ μου. Ἦλθεν ἡ πρεσβυτέρα καὶ ἠρώτησέν με, εἰ ἤδη τὸ βιβλίον ἔδωκα τοῖς πρεσβυτέροις· ἠρνησάμην δεδωκέναι. Καλῶς, φησιν, πεποίηκας· ἔχω γὰρ ῥήματα προσθεῖναι. Ὅταν οὖν ἀποτελέσω τὰ ῥήματα πάντα, διὰ σοῦ γνωρισθήσεται τοῖς ἐκλεκτοῖς πᾶσιν. (3) Γράψεις οὖν δύο βιβλαρίδια καὶ πέμψεις ἓν Κλήμεντι καὶ ἓν Γραπτῇ· πέμψει οὖν Κλήμης εἰς τὰς ἔξω πόλεις, ἐκείνῳ γὰρ ἐπιτέτραπται· Γραπτὴ δὲ νουθετήσει τὰς χήρας καὶ τοὺς ὀρφανούς. Σὺ δὲ ἀναγνώσῃ εἰς ταύτην τὴν πόλιν μετὰ τῶν πρεσβυτέρων τῶν προϊσταμένων τῆς ἐκκλησίας.

Postea autem visionem vidi domi meae. Venit anus et interrogavit me, num librum iam dedissem presbyteris. Negavi me dedisse. Bene, inquit, fecisti; habeo enim verba aliqua addere. Cum ergo finivero omnia verba, per te nota fient electis omnibus. (3) Scribes igitur duos libellos et mittes unum Clementi et alterum Graptae. Iam vero Clemens mittet in exteras civitates; illi enim mandatum est; Grapte autem monebit viduas et orphanos. Tu autem leges in ista civitate cum presbyteris, qui praesunt ecclesiae.

5. PAPIAS (c. 150 p. Chr.), DE S. PETRO ROMAE VERSANTE ET DE MARCO EVANGELISTA.

a) Eus. h. e. II 14, 6 et 15, 1—2[2].

14, 6 . . . *Παρὰ πόδας γοῦν ἐπὶ τῆς αὐτῆς Κλαυδίου βασιλείας, ἡ πανάγαθος καὶ φιλανθρωποτάτη*

14, 6 . . . Continuo namque in ipsis Claudii temporibus clementia divinae providentiae proba-

[1] Patres apost., ed. Funk, I (1901) 430. [2] Textus graecus

τῶν ὅλων πρόνοια τὸν καρτερὸν καὶ μέγαν τῶν ἀποστόλων, τὸν ἀρετῆς ἕνεκα τῶν λοιπῶν ἁπάντων προήγορον, Πέτρον, ἐπὶ τὴν Ῥώμην ὡς ἐπὶ τηλικοῦτον λυμεῶνα βίου χειραγωγεῖ· ὃς οἷά τις γενναῖος θεοῦ στρατηγὸς τοῖς θείοις ὅπλοις φραξάμενος, τὴν πολυτίμητον ἐμπορίαν τοῦ νοητοῦ φωτὸς ἐξ ἀνατολῶν τοῖς κατὰ δύσιν ἐκόμιζεν, φῶς αὐτὸ καὶ λόγον ψυχῶν σωτήριον, τὸ κήρυγμα τῆς τῶν οὐρανῶν βασιλείας εὐαγγελιζόμενος. (15, 1) *Οὕτω δὴ οὖν ἐπιδημήσαντος αὐτοῖς τοῦ θείου λόγου, ἡ μὲν τοῦ Σίμωνος ἀπέσβη καὶ παραχρῆμα σὺν καὶ τῷ ἀνδρὶ καταλέλυτο δύναμις.*

Τοσοῦτον δ' ἐπέλαμψεν ταῖς τῶν ἀκροατῶν τοῦ Πέτρου διανοίας εὐσεβείας φέγγος, ὡς μὴ ἀρκεῖσθαι ἀκοῇ μηδὲ τῇ ἀγράφῳ τοῦ θείου κηρύγματος διδασκαλίᾳ, παρακλήσεσιν δὲ παντοίαις Μάρκον, οὗ τὸ εὐαγγέλιον φέρεται, ἀκόλουθον ὄντα Πέτρου, λιπαρῆσαι ὡς ἂν καὶ διὰ γραφῆς ὑπό-

batissimum omnium apostolorum et maximum fidei magnificentia et virtutis merito primorum principem Petrum ad urbem Romam velut adversum humani generis communem perniciem repugnaturum deducit ducem quendam et magistrum militiae suae, scientem divina proelia gerere et virtutum castra ductare. Iste adveniens ex orientis partibus ut caelestis quidam negotiator mercimonia divini luminis, si qui sit conparare paratus, advexit et salutaris praedicationis verbo primus in urbe Roma evangelii sui clavibus ianuam regni caelestis aperuit. (15, 1) Igitur cum Romanae urbi clarum verbi dei lumen fuisset exortum, Simonis quidem tenebrae cum suo auctore restinctae sunt.

Sermo autem veritatis et lucis, qui per Petrum praedicabatur, universorum mentes placido inlustravit auditu, ita ut cotidie audientibus eum nulla unquam satietas fieret. Unde neque auditio eis sola sufficit, sed Marcum discipulum eius omnibus precibus exorant, uti ea, quae ille verbo praedicabat, ad per-

Eusebii et versio latina Rufini sunt editionis Berolinensis (Eusebius' Werke, II. Band, bearbeitet von Ed. Schwartz und Theod. Mommsen), Lipsiae 1903, p. 138—141.

μνημα τῆς διὰ λόγου παραδοθείσης αὐτοῖς καταλείψοι διδασκαλίας, μὴ πρότερόν τε ἀνεῖναι ἢ κατεργάσασθαι τὸν ἄνδρα, καὶ ταύτῃ αἰτίους γενέσθαι τῆς τοῦ λεγομένου κατὰ Μάρκον εὐαγγελίου γραφῆς. (2) *Γνόντα δὲ τὸ πραχθὲν φασὶ τὸν ἀπόστολον, ἀποκαλύψαντος αὐτῷ τοῦ πνεύματος, ἡσθῆναι τῇ τῶν ἀνδρῶν προθυμίᾳ κυρῶσαί τε τὴν γραφὴν εἰς ἔντευξιν ταῖς ἐκκλησίαις. Κλήμης ἐν ἕκτῳ τῶν Ὑποτυπώσεων*[1] *παρατέθειται τὴν ἱστορίαν, συνεπιμαρτυρεῖ δ' αὐτῷ καὶ ὁ Ἱεραπολίτης ἐπίσκοπος ὀνόματι Παπίας. Τοῦ δὲ Μάρκου μνημονεύειν τὸν Πέτρον ἐν τῇ προτέρᾳ ἐπιστολῇ· ἣν καὶ συντάξαι φασὶν ἐπ' αὐτῆς Ῥώμης, σημαίνειν δὲ τοῦτ' αὐτόν, τὴν πόλιν τροπικώτερον Βαβυλῶνα προσειπόντα διὰ τούτων· „ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ καὶ Μάρκος ὁ υἱός μου".*

petuam eorum commonitionem habendam scripturae traderet, quo domi forisque in huiuscemodi verbi meditationibus permanerent; nec prius ab obsecrando desistunt quam quae oraverant inpetrarent. Et haec fuit causa scribendi quod secundum Marcum dicitur evangelium. (2) Petrus vero, ut per spiritum sanctum religioso se spoliatum conperit furto, delectatus est fidem eorum per haec devotionemque considerans factumque confirmavit et in perpetuum legendam scripturam ecclesiis tradidit. Clemens in sexto Dispositionum libro haec ita gesta esse describit cuique simile dat testimonium etiam Hierapolites episcopus nomine Papias, qui et hoc dicit[2], quod Petrus in prima epistula sua, quam de urbe Roma scribit, meminerit Marci, in qua tropice Romam Babylonam nominarit cum dicit: *'Salutat vos ea quae in Babylone electa est et Marcus filius meus.'*

b) Eus. h. e. III 39, 15—16.

„Καὶ τοῦθ' ὁ πρεσβύτερος (Ἰωάννες) ἔλεγεν· Μάρκος μὲν

'Etiam hoc', inquit, 'presbyter (Ioannes) narrabat, quod Marcus

[1] De hoc libro cfr. Eus. h. e. VI 14. [2] Non recte vertit Rufinus, quasi Papias haec tradiderit.

ἑρμηνευτὴς Πέτρου γενόμενος, ὅσα ἐμνημόνευσεν, ἀκριβῶς ἔγραψεν, οὐ μέντοι τάξει τὰ ὑπὸ τοῦ κυρίου ἢ λεχθέντα ἢ πραχθέντα. Οὔτε γὰρ ἤκουσεν τοῦ κυρίου οὔτε παρηκολούθησεν αὐτῷ, ὕστερον δέ, ὡς ἔφην, Πέτρῳ· ὃς πρὸς τὰς χρείας ἐποιεῖτο τὰς διδασκαλίας, ἀλλ' οὐχ ὥσπερ σύνταξιν τῶν κυριακῶν ποιούμενος λογίων, ὥστε οὐδὲν ἥμαρτεν Μάρκος οὕτως ἔνια γράψας ὡς ἀπεμνημόνευσεν. Ἑνὸς γὰρ ἐποιήσατο πρόνοιαν, τοῦ μηδὲν ὧν ἤκουσεν παραλιπεῖν ἢ ψεύσασθαί τι ἐν αὐτοῖς."

interpres fuerit Petri et quaecumque meminerat ab eo dicta conscripserit, non tamen per ordinem ea, quae a domino dicta sunt vel facta, digesserit, quia non ipse auditor domini fuerit vel sectator, sed novissime, ut dixi, Petro adhaesit ad usum ac ministerium praedicandi, non ad conscribendos domini sermones. Itaque nihil peccavit Marcus in eo, quod ita quaedam scripsit, quasi qui sparsim audita recordari videatur. Et hoc solum satis egit, ne quid ex auditis omitteret aut aliquid falsum scriberet.'

(16) Ταῦτα μὲν οὖν ἱστόρηται τῷ Παπίᾳ περὶ τοῦ Μάρκου· περὶ δὲ τοῦ Ματθαίου ταῦτ' εἴρηται· „Ματθαῖος μὲν οὖν Ἑβραΐδι διαλέκτῳ τὰ λόγια συνετάξατο, ἡρμήνευσεν δ' αὐτὰ ὡς ἦν δυνατὸς ἕκαστος.

(16) Haec de Marco scribit Papias; sed et de Matthaeo ita refert: 'Matthaeus quidem scripsit Hebraeo sermone, interpretatus est autem ea quae scripsit unusquisque, sicut potuit.'

6. SERIES EPISCOPORUM ROMANORUM.

a) Hegesippus (c. 160 p. Chr.) apud Eus. h. e. IV 22, 1—3 [1].

Ὁ μὲν οὖν Ἡγήσιππος ἐν πέντε τοῖς εἰς ἡμᾶς ἐλθοῦσιν ὑπομνήμασιν τῆς ἰδίας γνώμης πληρεστάτην μνήμην καταλέλοιπεν· ἐν οἷς δηλοῖ ὡς πλείστοις ἐπι-

Ex quibus Hegesippus in quinto commentariorum libro, ubi sententiam suae fidei plenissima cum adstructione designat, indicat hoc etiam quod, cum

[1] Ed. Schwartz et Mommsen p. 388—391.

σκόποις συμμίξειεν ἀποδημίαν στειλάμενος μέχρι Ῥώμης, καὶ ὡς ὅτι τὴν αὐτὴν παρὰ πάντων παρείληφεν διδασκαλίαν. Ἀκοῦσαί γέ τοι πάρεστιν μετά τινα περὶ τῆς Κλήμεντος πρὸς Κορινθίους ἐπιστολῆς αὐτῷ εἰρημένα ἐπιλέγοντος ταῦτα.

(2) „Καὶ ἐπέμενεν ἡ ἐκκλησία ἡ Κορινθίων ἐν τῷ ὀρθῷ λόγῳ μέχρι Πρίμου ἐπισκοπεύοντος ἐν Κορίνθῳ· οἷς συνέμιξα πλέων εἰς Ῥώμην καὶ συνδιέτριψα τοῖς Κορινθίοις ἡμέρας ἱκανάς, ἐν αἷς συνανεπάημεν τῷ ὀρθῷ λόγῳ· γενόμενος δὲ ἐν Ῥώμῃ, διαδοχὴν ἐποιησάμην[1] μέχρις Ἀνικήτου· οὗ διάκονος ἦν Ἐλεύθερος, καὶ παρὰ Ἀνικήτου διαδέχεται Σωτήρ, μεθ' ὃν Ἐλεύθερος. Ἐν ἑκάστῃ δὲ διαδοχῇ καὶ ἐν ἑκάστῃ πόλει οὕτως ἔχει ὡς ὁ νόμος κηρύσσει καὶ οἱ προφῆται καὶ ὁ κύριος."

ad urbem Romam pergeret, plurimis per loca singula episcopis in sermone et caritate congressus, omnes eiusdem fidei praedicatores doctoresque reppererit. Simul et de epistula Clementis ad Corinthios scripta quaedam commemorat, quae etiam inserere huic operi nostro necessarium duxi; ait ergo:

(2) 'Et permansit', inquit, 'ecclesia Corinthiorum in praedicatione recta usque ad Primum episcopum, quem Romam navigans vidi et resedi cum eo apud Corinthum diebus multis, delectatus puritate fidei eius. Cum autem venissem Romam, permansi inibi, donec Aniceto Soter et Soteri successit Eleutherus. Sed in omnibus istis ordinationibus vel in ceteris, quas per reliquas urbes videram, ita omnia habebantur, sicut lex antiquitus tradidit et prophetae indicarunt et dominus statuit.'

b) Irenaeus, Adv. haer. III 3, 2—3[2].

Θεμελιώσαντες οὖν καὶ οἰκοδομήσαντες οἱ μακάριοι ἀπόστο-

Fundantes igitur et instruentes beati apostoli ecclesiam, Lino

[1] De hac locutione cfr. *Funk*, Kirchengesch. Abhandlungen I, Pad. 1897, 381 ss. Pro διαδοχήν coniecerunt διατριβήν *Zahn*, Forschungen zur Geschichte des neutestamentlichen Kanons VI, Erlangen 1900, 243 ss., et *Harnack*, Die Chronologie I, Lipsiae 1897, 180 ss.

[2] *Textus graecus* exstat apud Eus. h. e. V 5 (ed. Schwartz p. 438);

λοι τὴν ἐκκλησίαν, Λίνῳ τὴν τῆς ἐπισκοπῆς λειτουργίαν ἐνεχείρισαν· τούτου τοῦ Λίνου Παῦλος ἐν ταῖς πρὸς Τιμόθεον ἐπιστολαῖς μέμνηται[1]. *Διαδέχεται δ' αὐτὸν Ἀνέγκλητος, μετὰ τοῦτον δὲ τρίτῳ τόπῳ ἀπὸ τῶν ἀποστόλων τὴν ἐπισκοπὴν κληροῦται Κλήμης, ὁ καὶ ἑορακὼς τοὺς μακαρίους ἀποστόλους καὶ συμβεβληκὼς αὐτοῖς . . .* (3) *Τὸν δὲ Κλήμεντα τοῦτον διαδέχεται Εὐάρεστος καὶ τὸν Εὐάρεστον Ἀλέξανδρος, εἶθ' οὕτως ἕκτος ἀπὸ τῶν ἀποστόλων καθίσταται Ξύστος, μετὰ δὲ τοῦτον Τελεσφόρος, ὃς καὶ ἐνδόξως ἐμαρτύρησεν· ἔπειτα Ὑγῖνος*[2], *εἶτα Πίος, μεθ' ὃν Ἀνίκητος. Διαδεξαμένου τὸν Ἀνίκητον Σωτῆρος, νῦν δωδεκάτῳ τόπῳ τὸν τῆς ἐπισκοπῆς ἀπὸ τῶν ἀποστόλων κατέχει κλῆρον Ἐλεύθερος. Τῇ αὐτῇ τάξει καὶ τῇ αὐτῇ διδαχῇ ἥ τε ἀπὸ τῶν ἀποστόλων ἐν τῇ ἐκκλησίᾳ παράδοσις καὶ τὸ τῆς ἀληθείας κήρυγμα κατήντηκεν εἰς ἡμᾶς.*

episcopatum administrandae ecclesiae tradiderunt. Huius Lini Paulus in his quae sunt ad Timotheum litteris meminit. Succedit autem ei Anacletus; post eum tertio loco ab apostolis episcopatum sortitur Clemens, qui et vidit ipsos apostolos et contulit cum eis . . . (3) Huic autem Clementi succedit Euaristus et Euaristo Alexander, ac deinceps sextus ab apostolis constitutus est Sixtus, et ab hoc Telesphorus, qui etiam gloriosissime martyrium fecit; ac deinceps Hyginus, post Pius, post quem Anicetus. Cum autem successisset Aniceto Soter, nunc duodecimo loco episcopatum ab apostolis habet Eleutherius. Hac ordinatione et successione ea quae est ab apostolis in ecclesia traditio et veritatis praeconatio pervenit usque ad nos.

7. DIONYSIUS EPISCOPUS CORINTHIUS (c. 170 p. Chr.).

a) De ecclesia Romana a Petro et Paulo condita (Eus. h. e. II 25, 8)[3].

Ὡς δὲ κατὰ τὸν αὐτὸν ἄμφω καιρὸν ἐμαρτύρησαν, Κορινθίων

Quod autem eodem tempore ambo passi sunt, Corinthiorum

textus latinus est editionis Harvey, Cantabrigiae 1857. Cfr. *Boehmer* in Zeitschr. f. neutest. Wiss. 1906, 333 ss. [1] 2 Tim. 4, 21. [2] Iren. adv. haer. III 4, 3: *Ὑγίνου, ὃς ἦν ἔννατος ἐπίσκοπος.* [3] Eus. h. e. ed. Schwartz I 178.

ἐπίσκοπος Διονύσιος, ἐγγράφως Ῥωμαίοις ὁμιλῶν ὧδε παρίστησιν·

„Ταῦτα καὶ ὑμεῖς διὰ τῆς τοσαύτης νουθεσίας τὴν ἀπὸ Πέτρου καὶ Παύλου φυτείαν γενηθεῖσαν Ῥωμαίων καὶ Κορινθίων συνεκεράσατε. Καὶ γὰρ ἄμφω καὶ εἰς τὴν ἡμετέραν Κόρινθον φυτεύσαντες ἡμᾶς ὁμοίως ἐδίδαξαν, ὁμοίως δὲ καὶ εἰς τὴν Ἰταλίαν ὁμόσε διδάξαντες ἐμαρτύτησαν κατὰ τὸν αὐτὸν καιρόν."

episcopus Dionysius, cum in urbe positus esset et scriptis disputaret, haec dicit:

'Sed et vos habentes commonitionem a Petro et Paulo, plantationem Romanae et Corinthiorum ecclesiae coniunxistis. Ambo etenim simul adventantes et in nostra Corinthiorum ecclesia docuerunt et per omnem Italiam atque in hac urbe simul docentes etiam martyrio pariter uno eodemque tempore coronati sunt.'

b) De beneficentia ecclesiae Romanae (Eus. h. e. IV 23, 9—10)[1].

Ἔτι τοῦ Διονυσίου καὶ πρὸς Ῥωμαίους ἐπιστολὴ φέρεται ἐπισκόπῳ τῷ τότε Σωτῆρι προσφωνοῦσα· ἐξ ἧς οὐδὲν οἷον τὸ καὶ παραθέσθαι λέξεις, δι' ὧν τὸ μέχρι τοῦ καθ' ἡμᾶς διωγμοῦ φυλαχθὲν Ῥωμαίων ἔθος ἀποδεχόμενος ταῦτα γράφει·

(10) „Ἐξ ἀρχῆς γὰρ ὑμῖν ἔθος ἐστὶν τοῦτο, πάντας μὲν ἀδελφοὺς ποικίλως εὐεργετεῖν ἐκκλησίαις τε πολλαῖς ταῖς κατὰ πᾶσαν πόλιν ἐφόδια πέμπειν, ὧδε μὲν τὴν τῶν δεομένων πενίαν ἀναψύχοντας, ἐν μετάλλοις δὲ ἀδελφοῖς ὑπάρχουσιν ἐπιχορηγοῦντας, δι' ὧν

Dionysii autem fertur et alia (epistula) ad Romanos data ad episcopum Soterem, in qua instituta antiquitus tradita in ecclesia Romana custodiri libenter amplexum se his indicat verbis:

(10) 'A principio namque moris est' inquit, 'vobis omnes fratres variis iuvare beneficiis multisque ecclesiis, quae sunt per diversa terrarum, cuncta, quibus indigent, destinare, singulorum quoque necessitates in omnibus consolari, sed et per metalla fratribus

[1] Eus. h. e. ed. Schwartz I 376.

πέμπετε ἀρχῆθεν ἐφοδίων πατροπαράδοτον ἔθος Ῥωμαίων Ῥωμαῖοι φυλάττοντες, ὃ οὐ μόνον τετήρηκεν ὁ μακάριος ὑμῶν ἐπίσκοπος Σωτήρ, ἀλλὰ καὶ ηὔξηκεν, ἐπιχορηγῶν μὲν τὴν διαπεμπομένην θαψίλειαν τὴν εἰς τοὺς ἁγίους, λόγοις δὲ μακαρίοις τοὺς ἀνιόντας ἀδελφούς, ὡς τέκνα πατὴρ φιλόστοργος, παρακαλῶν.“

relegatis, quae usus poscit, praebere. Haec ab initio Romanae ecclesiae facere moris fuit a patribus sibi huiuscemodi institutione dimissa et semper integre custodita. Beatus vero episcopus vester Soter non solum servavit, quae patres tradiderant, sed et auxit in melius; qui non tantum sanctis, quae usus corporalis poscit, impertit, verum et advenientes fratres clementi satis et mitissimo solatur adloquio et tamquam pium se ac religiosum patrem singulis exhibet.“

8. VICTORIS EPISCOPI ROMANI (c. 190 p. Chr.) ET EPISCOPORUM ASIATICORUM CONTROVERSIA PASCHALIS (Eus. h. e. V 23 et 24) [1].

Ζητήσεως δῆτα κατὰ τούσδε οὐ σμικρᾶς ἀνακινηθείσης, ὅτι δὴ τῆς Ἀσίας ἁπάσης αἱ παροικίαι ὡς ἐκ παραδόσεως ἀρχαιοτέρας σελήνης τὴν τεσσαρεσκαιδεκάτην ᾠοντο δεῖν ἐπὶ τῆς τοῦ σωτηρίου πάσχα ἑορτῆς παραφυλάττειν, ἐν ᾗ θύειν τὸ πρόβατον Ἰουδαίοις προηγόρευτο, ὡς δέον ἐκ παντὸς κατὰ ταύτην, ὁποίᾳ δ' ἂν ἡμέρᾳ τῆς ἑβδομάδος περιτυγχάνοι, τὰς τῶν ἀσιτιῶν ἐπιλύσεις ποιεῖσθαι,

Quibus ea tempestate ecclesiis praesidentibus in provinciis Asiae quaestio non minima exoritur velut ex antiqua eorum observatione descendens, quod quarta decima luna putarint omni genere pascha observandum, quando scilicet Iudaeis agnus praecipitur immolari, veluti necessario confirmantes, quacumque die septimanae quarta decima luna venisset, solvi

[1] Ed. Schwartz I 488 ss.; versio latina est Rufini (eodem loco).

οὐκ ἔθους ὄντος τοῦτον ἐπιτελεῖν τὸν τρόπον ταῖς ἀνὰ τὴν λοιπὴν ἅπασαν οἰκουμένην ἐκκλησίαις, ἐξ ἀποστολικῆς παραδόσεως τὸ καὶ εἰς δεῦρο κρατῆσαν ἔθος φυλαττούσαις, ὡς μηδ' ἑτέρᾳ προσήκειν παρὰ τὴν τῆς ἀναστάσεως τοῦ σωτῆρος ἡμῶν ἡμέρᾳ τὰς νηστείας ἐπιλύεσθαι, (2) σύνοδοι δὴ καὶ συγκροτήσεις ἐπισκόπων ἐπὶ ταὐτὸν ἐγίνοντο, πάντες τε μιᾷ γνώμῃ δι' ἐπιστολῶν ἐκκλησιαστικὸν δόγμα τοῖς πανταχόσε διετυποῦντο ὡς ἂν μηδ' ἐν ἄλλῃ ποτὲ τῆς κυριακῆς ἡμέρᾳ τὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἐπιτελοῖτο τοῦ κυρίου μυστήριον, καὶ ὅπως ἐν ταύτῃ μόνῃ τῶν κατὰ τὸ πάσχα νηστειῶν φυλαττοίμεθα τὰς ἐπιλύσεις. (3) Φέρεται δ' εἰς ἔτι νῦν τῶν κατὰ Παλαιστίνην τηνικάδε συγκεκροτημένων γραφή, ὧν προυτέτακτο Θεόφιλος τῆς ἐν Καισαρείᾳ παροικίας ἐπίσκοπος καὶ Νάρκισσος τῆς ἐν Ἱεροσολύμοις καὶ τῶν ἐπὶ Ῥώμης δ' ὁμοίως ἄλλη περὶ τοῦ αὐτοῦ ζητήματος, ἐπίσκοπον Βίκτορα δηλοῦσα, τῶν τε κατὰ Πόντον ἐπισκόπων, ὧν Πάλμας ὡς ἀρχαιότατος προυτέτακτο, καὶ τῶν κατὰ Γαλλίαν δὲ παροικιῶν, ἃς Εἰρηναῖος ἐπεσκόπει, (4) ἔτι τε τῶν κατὰ τὴν Ὀσροηνὴν καὶ τὰς ἐκεῖσε πόλεις, καὶ ἰδίως Βακχύλ-

debere ieiunium, cum talis consuetudo in nullis prorsus aliis unquam observata fuisset ecclesiis. Ob quam causam conventus episcoporum et concilia per singulas quasque provincias convocantur, (2) prorogatisque ad se invicem epistulis de singulis quisque locis unum omnes ecclesiasticum dogma confirmant, ne liceat aliquando nisi in die dominica, in qua dominus surrexit a mortuis, dominicum paschae celebrare mysterium et in hac sola solvendum esse paschale ieiunium. (3) Exstat usque in hodiernum concilii apud Caesaream Palaestinae habiti decretum, in quo primus est Theofilus ipsius Caesareae episcopus et Narcissus Hierosolymorum sacerdos. Habetur et urbis Romae concilii simile aliud decretum, cui praefuisse Victor episcopus indicatur, et Ponti provinciae Palmeas. Gallorum quoque sacerdotalis conventus exstat Irenaeum praesulem scribens, (4) Achaiae vero Bacchyllum Corinthiorum ecclesiae episcopum, qui omnes diversis e locis unam eandemque iudicii sui sententiam protulere.

λου τῆς Κορινθίων ἐκκλησίας ἐπισκόπου, καὶ πλείστων ὅσων ἄλλων, οἳ μίαν καὶ τὴν αὐτὴν δόξαν τε καὶ κρίσιν ἐξενηνεγμένοι, τὴν αὐτὴν τέθεινται ψῆφον. Καὶ τούτων μὲν ἦν ὅρος εἷς, ὃ δεδηλωμένος.

c. 24. *Τῶν δὲ ἐπὶ τῆς Ἀσίας ἐπισκόπων τὸ πάλαι πρότερον αὐτοῖς παραδοθὲν διαφυλάττειν ἔθος χρῆναι διισχυριζομένων ἡγεῖτο Πολυκράτης, ὃς καὶ αὐτὸς ἐν ᾗ πρὸς Βίκτορα καὶ τὴν Ῥωμαίων ἐκκλησίαν διετυπώσατο γραφῇ τὴν εἰς αὐτὸν ἐλθοῦσαν παράδοσιν ἐκτέθειται διὰ τούτων.*

